οὖν ποιήσεις, βασιλεῦ δίκαιε, προστάξας, ὡς ἂν ἡ μεταγραφὴ γένηται τῶν βιβλίων, ἵνα πάλιν ἀποκατασταθῶσι πρὸς ἡμᾶς ἀσφαλῶς οἱ ἄνδρες. Ἔρρωσο.

[47] Εἰσὶ δὲ πρώτης φυλῆς· Ἰώσηφος Ἐζεκίας Ζαχαρίας Ἰωάννης Ἐζεκίας Ἐλισσαῖος. Δευτέρας· Ἰούδας Σίμων Σομόηλος Ἀδαῖος Ματταθίας Ἐσχλεμίας. Τρίτης· Νεεμίας Ἰώσηφος Θεοδόσιος Βασέας Ὀρνίας Δάκις. [48] Τετάρτης· Ἰωνάθας Ἀβραῖος Ἐλισσαῖος Ἀνανίας Χαβρίας... Πέμπτης· Ἴσακος Ἰάκωβος Ἰησοῦς Σαββαταῖος Σίμων Λευίς. Ἕκτης· Ἰούδας Ἰώσηφος Σίμων Ζαχαρίας Σομόηλος Σελεμίας. [49] Ἑβδόμης· Σαββαταῖος Σεδεκίας Ἰάκωβος Ἴσαχος Ἰησίας Νατθαῖος. Ὀγδόης· Θεοδόσιος Ἰάσων Ἰησοῦς Θεόδοτος Ἰωάννης Ἰωνάθας. Ἐνάτης· Θεόφιλος Ἄβραμος Ἄρσαμος Ἰάσων Ἐνδεμίας Δανίηλος. [50] Δεκάτης· Ἰερεμίας Ἐλεάζαρος Ζαχαρίας Βανέας Ἐλισσαῖος Δαθαῖος. Ἑνδεκάτης· Σαμούηλος Ἰώσηφος Ἰούδας Ἰωνάθης Χαλεβ Δοσίθεος. Δωδεκάτης· Ἰσάηλος Ἰωάννης Θεοδόσιος Ἄρσαμος Ἀβιήτης Ἐζεκῆλος. Οἱ πάντες ἑβδομήκοντα δύο.

[51] Καὶ τὰ μὲν πρὸς τὴν τοῦ βασιλέως ἐπιστολὴν τοιαύτης ἐτύγχανεν ἀντιγραφῆς ὑπὸ τῶν περὶ τὸν Ἐλεάζαρον.

Ὡς δὲ ἐπηγγειλάμην καὶ τὰ τῶν κατασκευασμάτων διασαφῆσαι, ποιήσω. Πολυτεχνίᾳ γὰρ διαφέροντα συνετελέσθη, τοῦ βασιλέως πολλὴν ἐπίδοσιν ποιουμένου καὶ παρ' ἕκαστον ἐπιθεωροῦντος τοὺς τεχνίτας. Διὸ παριδεῖν οὐδὲν ἠδύναντο οὐδὲ εἰκῇ συντελέσαι.